Il.6.405 Ἀνδρομάχη δέ οἱ ἄγχι παρί̱στατο δάκρυ χέουσα,
Il.6.406 ἔν τ᾽ ἄρα οἱ φῦ χειρὶ ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
Il.6.407 δαιμόνιε φθί̱σει σε τὸ σὸν μένος, οὐδ᾽ ἐλεαίρεις
Il.6.408 παῖδά τε νηπίαχον καὶ ἔμ᾽ ἄμμορον, ἣ τάχα χήρη
Il.6.409 σεῦ ἔσομαι· τάχα γάρ σε κατακτανέουσιν Ἀχαιοὶ
Il.6.410 πάντες ἐφορμηθέντες· ἐμοὶ δέ κε κέρδιον εἴη
Il.6.411 σεῦ ἀφαμαρτούσῃ χθόνα δύ̱μεναι· οὐ γὰρ ἔτ᾽ ἄλλη
Il.6.412 ἔσται θαλπωρὴ ἐπεὶ ἂν σύ γε πότμον ἐπίσπῃς
Il.6.413 ἀλλ᾽ ἄχε᾽· οὐδέ μοι ἔστι πατὴρ καὶ πότνια μήτηρ.
Il.6.414 ἤτοι γὰρ πατέρ᾽ ἁ̱μὸν ἀπέκτανε δῖος Ἀχιλλεύς,
Il.6.415 ἐκ δὲ πόλιν πέρσεν Κιλίκων εὖ ναιετάουσαν
Il.6.416 Θήβην ὑψίπυλον· κατὰ δ᾽ ἔκτανεν Ἠετίωνα,
Il.6.417 οὐδέ μιν ἐξενάριξε, σεβάσσατο γὰρ τό γε θυ̱μῷ,
Il.6.418 ἀλλ᾽ ἄρα μιν κατέκηε σὺν ἔντεσι δαιδαλέοισιν
Il.6.419 ἠδ᾽ ἐπὶ σῆμ᾽ ἔχεεν· περὶ δὲ πτελέα̱ς ἐφύτευσαν
Il.6.420 νύμφαι ὀρεστιάδες κοῦραι Διὸς αἰγιόχοιο.
Il.6.421 οἳ δέ μοι ἑπτὰ κασίγνητοι ἔσαν ἐν μεγάροισιν
Il.6.422 οἳ μὲν πάντες ἰῷ κίον ἤματι Ἄ̱ϊδος εἴσω·
Il.6.423 πάντας γὰρ κατέπεφνε ποδάρκης δῖος Ἀχιλλεὺς
Il.6.424 βουσὶν ἐπ᾽ εἰλιπόδεσσι καὶ ἀργεννῇς ὀΐεσσι.
Il.6.425 μητέρα δ᾽, ἣ βασίλευεν ὑπὸ Πλάκῳ ὑ̱ληέσσῃ,
Il.6.426 τὴν ἐπεὶ ἂρ δεῦρ᾽ ἤγαγ᾽ ἅμ᾽ ἄλλοισι κτεάτεσσιν,
Il.6.427 ἂψ ὅ γε τὴν ἀπέλυ̱σε λαβὼν ἀπερείσι᾽ ἄποινα,
Il.6.428 πατρὸς δ᾽ ἐν μεγάροισι βάλ᾽ Ἄρτεμις ἰ̱οχέαιρα.
Il.6.429 Ἕκτορ ἀτὰρ σύ μοί ἐσσι πατὴρ καὶ πότνια μήτηρ
Il.6.430 ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς παρακοίτης·
Il.6.431 ἀλλ᾽ ἄγε νῦν ἐλέαιρε καὶ αὐτοῦ μίμν᾽ ἐπὶ πύργῳ,
Il.6.432 μὴ παῖδ᾽ ὀρφανικὸν θήῃς χήρην τε γυναῖκα·
Il.6.433 λα̱ὸν δὲ στῆσον παρ᾽ ἐρι̱νεόν, ἔνθα μάλιστα
Il.6.434 ἀμβατός ἐστι πόλις καὶ ἐπίδρομον ἔπλετο τεῖχος.
Il.6.435 τρὶς γὰρ τῇ γ᾽ ἐλθόντες ἐπειρήσανθ᾽ οἱ̣ ἄριστοι
Il.6.436 ἀμφ᾽ Αἴαντε δύω καὶ ἀγακλυτὸν Ἰ̱δομενῆα
Il.6.437 ἠδ᾽ ἀμφ᾽ Ἀτρεΐδα̱ς καὶ Τυ̱δέος ἄλκιμον υἱόν·

Il.6.438 ἤ πού τίς σφιν ἔνισπε θεοπροπίων ἐῢ εἰδώς,
Il.6.439 ἤ νυ καὶ αὐτῶν θυ̱μὸς ἐποτρύ̱νει καὶ ἀνώγει.
Il.6.440 Τὴν δ᾽ αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
Il.6.441 ἦ καὶ ἐμοὶ τάδε πάντα μέλει γύναι· ἀλλὰ μάλ᾽ αἰνῶς
Il.6.442 αἰδέομαι Τρῶας καὶ Τρῳάδας ἑλκεσιπέπλους,
Il.6.443 αἴ κε κακὸς ὣς νόσφιν ἀλυσκάζω πολέμοιο·
Il.6.444 οὐδέ με θυ̱μὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλὸς
Il.6.445 αἰεὶ καὶ πρώτοισι μετὰ Τρώεσσι μάχεσθαι
Il.6.446 ἀρνύμενος πατρός τε μέγα κλέος ἠδ᾽ ἐμὸν αὐτοῦ.
Il.6.447 εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυ̱μόν·
Il.6.448 ἔσσεται ἦμαρ ὅτ᾽ ἄν ποτ᾽ ὀλώλῃ Ἴ̱λιος ἱ̱ρὴ
Il.6.449 καὶ Πρίαμος καὶ λα̱ὸς ἐϋμμελίω Πριάμοιο.
Il.6.450 ἀλλ᾽ οὔ μοι Τρώων τόσσον μέλει ἄλγος ὀπίσσω,
Il.6.451 οὔτ᾽ αὐτῆς Ἑκάβης οὔτε Πριάμοιο ἄνακτος
Il.6.452 οὔτε κασιγνήτων, οἵ κεν πολέες τε καὶ ἐσθλοὶ
Il.6.453 ἐν κονίῃσι πέσοιεν ὑπ᾽ ἀνδράσι δυσμενέεσσιν,
Il.6.454 ὅσσον σεῦ, ὅτε κέν τις Ἀχαιῶν χαλκοχιτώνων
Il.6.455 δακρυόεσσαν ἄγηται ἐλεύθερον ἦμαρ ἀπούρας·
Il.6.456 καί κεν ἐν Ἄργει ἐοῦσα πρὸς ἄλλης ἱστὸν ὑφαίνοις,
Il.6.457 καί κεν ὕδωρ φορέοις Μεσσηΐδος ἢ Ὑπερείης
Il.6.458 πόλλ᾽ ἀεκαζομένη, κρατερὴ δ᾽ ἐπικείσετ᾽ ἀνάγκη·
Il.6.459 καί ποτέ τις εἴπῃσιν ἰδὼν κατὰ δάκρυ χέουσαν·
Il.6.460 Ἕκτορος ἧδε γυνὴ ὃς ἀριστεύεσκε μάχεσθαι
Il.6.461 Τρώων ἱπποδάμων ὅτε Ἴ̱λιον ἀμφεμάχοντο.
Il.6.462 ὥς ποτέ τις ἐρέει· σοὶ δ᾽ αὖ νέον ἔσσεται ἄλγος
Il.6.463 χήτεϊ τοιοῦδ᾽ ἀνδρὸς ἀμύ̱νειν δούλιον ἦμαρ.
Il.6.464 ἀλλά με τεθνηῶτα χυτὴ κατὰ γαῖα καλύπτοι
Il.6.465 πρίν γέ τι σῆς τε βοῆς σοῦ θ᾽ ἑλκηθμοῖο πυθέσθαι.
Il.6.466 Ὣς εἰπὼν οὗ παιδὸς ὀρέξατο φαίδιμος Ἕκτωρ·
Il.6.467 ἂψ δ᾽ ὃ πάϊς πρὸς κόλπον ἐϋζώνοιο τιθήνης
Il.6.468 ἐκλί̱νθη ἰάχων πατρὸς φίλου ὄψιν ἀτυχθεὶς
Il.6.469 ταρβήσας χαλκόν τε ἰδὲ λόφον ἱππιοχαίτην,
Il.6.470 δεινὸν ἀπ᾽ ἀκροτάτης κόρυθος νεύοντα νοήσας.

Il.6.471 ἐκ δ᾽ ἐγέλασσε πατήρ τε φίλος καὶ πότνια μήτηρ·
Il.6.472 αὐτίκ᾽ ἀπὸ κρα̱τὸς κόρυθ᾽ εἵλετο φαίδιμος Ἕκτωρ,
Il.6.473 καὶ τὴν μὲν κατέθηκεν ἐπὶ χθονὶ παμφανόωσαν·
Il.6.474 αὐτὰρ ὅ γ᾽ ὃν φίλον υἱὸν ἐπεὶ κύσε πῆλέ τε χερσὶν
Il.6.475 εἶπε δ᾽ ἐπευξάμενος Διί τ᾽ ἄλλοισίν τε θεοῖσι·
Il.6.476 Ζεῦ ἄλλοί τε θεοὶ δότε δὴ καὶ τόνδε γενέσθαι
Il.6.477 παῖδ᾽ ἐμὸν ὡς καὶ ἐγώ περ ἀριπρεπέα Τρώεσσιν,
Il.6.478 ὧδε βίην τ᾽ ἀγαθόν, καὶ Ἰ̱λίου ἶφι ἀνάσσειν·
Il.6.479 καί ποτέ τις εἴποι πατρός γ᾽ ὅδε πολλὸν ἀμείνων
Il.6.480 ἐκ πολέμου ἀνιόντα· φέροι δ᾽ ἔναρα βροτόεντα
Il.6.481 κτείνα̱ς δήϊον ἄνδρα, χαρείη δὲ φρένα μήτηρ.
Il.6.482 Ὣς εἰπὼν ἀλόχοιο φίλης ἐν χερσὶν ἔθηκε
Il.6.483 παῖδ᾽ ἑόν· ἣ δ᾽ ἄρα μιν κηώδεϊ δέξατο κόλπῳ
Il.6.484 δακρυόεν γελάσα̱σα· πόσις δ᾽ ἐλέησε νοήσας,
Il.6.485 χειρί τέ μιν κατέρεξεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
Il.6.486 δαιμονίη μή μοί τι λίην ἀκαχίζεο θυ̱μῷ·
Il.6.487 οὐ γάρ τίς μ᾽ ὑπὲρ αἶσαν ἀνὴρ Ἄϊδι προϊάψει·
Il.6.488 μοῖραν δ᾽ οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
Il.6.489 οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται.
Il.6.490 ἀλλ᾽ εἰς οἶκον ἰοῦσα τὰ σ᾽ αὐτῆς ἔργα κόμιζε
Il.6.491 ἱστόν τ᾽ ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
Il.6.492 ἔργον ἐποίχεσθαι· πόλεμος δ᾽ ἄνδρεσσι μελήσει
Il.6.493 πᾶσι, μάλιστα δ᾽ ἐμοί, τοὶ Ἰ̱λίῳ ἐγγεγάα̱σιν.
Il.6.494 Ὣς ἄρα φωνήσας κόρυθ᾽ εἵλετο φαίδιμος Ἕκτωρ
Il.6.495 ἵππουριν· ἄλοχος δὲ φίλη οἶκον δὲ βεβήκει
Il.6.496 ἐντροπαλιζομένη, θαλερὸν κατὰ δάκρυ χέουσα.
Il.6.497 αἶψα δ᾽ ἔπειθ᾽ ἵ̱κα̱νε δόμους εὖ ναιετάοντας
Il.6.498 Ἕκτορος ἀνδροφόνοιο, κιχήσατο δ᾽ ἔνδοθι πολλὰ̱ς
Il.6.499 ἀμφιπόλους, τῇσιν δὲ γόον πά̱σῃσιν ἐνῶρσεν.
Il.6.500 αἳ μὲν ἔτι ζωὸν γόον Ἕκτορα ᾧ ἐνὶ οἴκῳ·
Il.6.501 οὐ γάρ μιν ἔτ᾽ ἔφαντο ὑπότροπον ἐκ πολέμοιο
Il.6.502 ἵξεσθαι προφυγόντα μένος καὶ χεῖρας Ἀχαιῶν.